Τῼ ΠΑΝΑΓΙΩΤΑΤῼ

ΣΟΦΩΤΑΤῼ ΚΑΙ ΦΙΛΟΓΕΝΕΣΤΑΤῼ

# ΟΙΚΟΥΜΕΝΙΚῼ ΠΑΤΡΙΑΡΧῌ

ΚΥΡΙῼ ΚΥΡΙῼ

# ΚΥΡΙΛΛῼ

---

## Παναγιώτατε Δέσποτα.

Ἐκ Θεοῦ καὶ τῶν παναγίων ὑμῶν εὐχῶν ἀρχόμενος, εἰσῆλθον εἰς τὸ ςάδιον τῶν ὑπὲρ τῆς κοινῆς παιδείας ἀγώνων, πρὸς οὓς ἀλείπτης ἅμα καὶ ἀντιλήπτωρ γενέσθαι μοι καὶ διὰ Πατριαρχικοῦ γράμματος κατηξίωσεν ἡ ὑμετέρα Παναγιότης, ὡς Θεῖος Ἔφορος τῶν καλῶν. Πάντα μὲν οὖν εἰς Θεὸν ἀνατίθημι, ὅσα κατὰ τὴν παρ᾽ αὐτοῦ δοθεῖσάν μοι δύναμιν ἐργάζομαι· τίνι δὲ τῶν ἐπὶ γῆς ἔδει μ᾽ ἀφιερῶσαι τὸ πρῶτον ἐκ τοῦ ςαδίου προελθὸν ἠθικὸν τοῦτο πονημάτιον, ἢ τῇ ἡμετέρᾳ Παναγιότητι, πρὸς τὴν μετὰ λόγου ἀρετὴν ἔργῳ καὶ λόγῳ ἀπευθύνεσθαι πᾶσιν εἰσηγουμένῃ; Ταύτῃ τοίνυν εὐλαβῶς τοῦτο προσφέρων, δέομαι λυσιτελὲς τοῖς ὁμογενέσιν ἀποφῆναι εὐμενῶς προσδεξαμένην.

Τῆς ὑμετέρας Παναγιότητος

Ταπεινότατος καὶ εὐπειθέστατος δοῦλος

ΝΕΟΦΥΤΟΣ ΒΑΜΒΑΣ.